# Cyprian.

**358)** ep. 64, 5; ed. Hartel II, 720, 16—721, 2. — Erhalten in C 127$^{v}$—128$^{r}$ und R 120$^{v}$. Lemma bei beiden *τοῦ ἁγίου Κυπριανοῦ ἐπισκόπου καὶ μάρτυρος ἐκ τῆς πρὸς Φείδωνα* (*Φίδωνα* R) *ἐπιστολῆς.*

*ἐπειδὴ δὲ καὶ τοῖς βαρύτερα πεπλημμεληκόσιν καὶ εἰς τὸν θεὸν πρὸ τῆς χάριτος ἡμαρτηκόσι μετὰ τὸ πιστεῦσαι ἄφεσις ἁμαρτιῶν αὐτοῖς δίδοται καὶ ἀπὸ τοῦ* |C 128 r| *βαπτίσματος καὶ ἀπὸ τῆς χάριτος οὐδεὶς κωλύεται, πόσῳ μᾶλλον οὐκ ὀφείλει κωλύεσθαι τὸ παιδίον, ὅπερ νεωστὶ τεχθὲν οὐδὲν ἥμαρτεν, εἰ μὴ ὅτι κατὰ τὸν Ἀδὰμ σαρκικῶς γεννηθὲν τὸν μιασμὸν τοῦ θανάτου τῇ πρώτῃ γεννήσει ἐπεσπάσατο, ὅπερ εἰς μετάληψιν ἀφέσεως ἁμαρτιῶν αὐτῷ τοῦτο εὐχερέστερον πρόσεισιν, ὅτι περ ἀφίενται αὐτῷ οὐ τὰ ἴδια ἀλλὰ τὰ ἀλλότρια ἁμαρτήματα.*

---

**358**, 2 *ἡμαρτηκόσιν* C | 5 *κωλύεσθαι*] *εσθ* auf Rasur C | 8 *αὐτοῦ* R | 9 *ἀφίεται* R.